1.5.

13 Οἱ ὀρθόδοξοι παῖδες τῶν αἱρετικῶν μὴ ἁμαρ-
τήσαντες κατ᾽ αὐτῶν ἀμείωτον λαμβάνουσι τὸ ἐξ
ἀδιαθέτου αὐτοῖς ἁρμόζον· καὶ ἡ παρὰ ταῦτα
γενομένη τελευταία βούλησις ἀκυροῦται, φυλαττο-
μένων τῶν ἐλευθεριῶν, εἰ μὴ κατά τινα νόμον
1 κωλύονται. Εἰ δέ τι πλημμελήσουσιν εἰς τοὺς
2 γονεῖς, κατηγοροῦνται καὶ τιμωροῦνται. Ἔχουσι
δὲ καὶ ἡμαρτηκότες τὸ τέταρτον τῆς οὐσίας αὐ-
3 τῶν κατὰ διαθήκας. Τὰ αὐτὰ καὶ περὶ Ἰουδαίων
καὶ Σαμαρειτῶν.

*id est:*

Orthodoxi haereticorum liberi si in eos non peccaverunt,
integrum id quod eis ab intestato competit accipiunt
et ultima quae adversus ea fit voluntas infirmatur.
1 ¶ Quod si quid in parentes committent, accusabuntur
et punientur.
2 ¶ Quartam autem eorum substantiae partem etiam
qui peccaverunt contra tabulas habent.
3 ¶ Eadem et in Iudaeis et Samaritis optinent.

1.5.

14 Οἱ αἱρετικοὶ συνακτήρια ποιεῖν οὐ δύνανται ἢ παρασυνάξεις ἢ συνόδους ἢ χειροτονίας ἢ βαπτίσματα ἢ ἐξάρχους ἔχειν ἢ πατριὰς ἢ ἐκδικίας ἐγχειρίζεσθαι ἢ φροντίζειν ἢ διοικεῖν χωρία δι᾽ ἑαυτῶν ἢ διὰ παρενθέτων προσώπων ἢ τι τῶν ἀπηγορευμένων ποιεῖν. ὁ δὲ παραβαίνων ἐσχάτως κινδυνεύει.

*id est:*

Haeretici conventicula facere non possunt vel parasynaxes
vel synodos vel ordinationes vel baptismata vel exarchos habere
vel patrum defensorumve officia instituere vel gerere vel praedia
per semet ipsos vel per interpositas personas administrare
vel quicquam eorum quae prohibita sunt facere, qui contra facit,
in extremo periculo versatur.

1.5.

15 . . . . . . . . Τῶν ἀτυχησάντων τὴν τῶν Μανιχαίων ἀσεβῆ πλάνην οὐ μόνον ἐφ᾽ ὅσον περίεισι ποινῆς ἀξίων ὄντων, ἀλλὰ καὶ τοῦ μετὰ τὴν αὐτῶν τελευτὴν μὴ οἷς ἐκεῖνοι βούλονται μηδὲ οἷς ἐξ ἀδιαθέτου δίδωσιν ὁ νόμος τὴν οὐσίαν αὐτῶν δίδοσθαι, τῷ παρόντι θείῳ πραγματικῷ νόμῳ χρώμεθα πρὸς τὴν σὴν μεγαλοπρέπειαν, δι᾽ οὗ προστάττομεν διερευνᾶσθαι τὰς οὐσίας τῶν ταύτῃ κατασχεθέντων τῇ νόσῳ· καὶ εἰ μὲν παῖδες αὐτῶν εἶεν ἤ τινες τῶν κατιόντων ἐλεύθεροι τῆς τοιουτοτρόπου μανίας ὑπάρχοντες, ἐᾶσαι τούτους τῆς ἐκ τοῦ νόμου δεδομένης αὐτοῖς οὐσίας μετέχειν· εἰ δὲ ἕτεροί τινες συγγενεῖς τῶν τελευτησάντων ἢ κατὰ τελευταίαν ἐκείνων (ὅπερ ἀπηγόρευται) βούλησιν εἰς τὸν κλῆρον αὐτῶν καλοῖντο ἢ δωρεὰν παρὰ τοιούτου προσώπου περιόντος ἔτυχον κομισάμενοι ἢ καὶ ληγάτῳ δήθεν παρ᾽ αὐτοῦ τιμηθέντες, πάντως αὐτῶν ἀφελέσθαι τὴν οὐσίαν ἢ τὰ δεδωρημένα ἢ τὰ ληγατευθέντα πράγματα καὶ τῷ δημοσίῳ προσκυρῶσαι λόγῳ.

*id est:*

Cum ii qui in impium Manichaeorum errorem lapsi sunt non solum poenis dum vivunt digni sint, sed etiam ut post mortem ipsorum non iis quibus ipsi volunt neque quos lex ab intestato vocat bona eorum cedant, nae praesenti sacra lege pragmatica ad magnificentiam tuam utimur, qua praecipimus, ut bona eorum qui hoc morbo laborant investigentur: et si quidem liberi eorum vel descendentium eiusmodi amentiae expertes existunt, his bona quae lege eis dantur obtinere liceat: si qui vero alii defunctorum cognati vel ex ultima eorum voluntate (quod vetitum est) ad hereditatem eorum vocantur vel donationem inter vivos a tali persona acceperunt vel etiam legato ab ea honorati fuerint, bona eorum vel res donatae legataeve omnino auferantur et publicis rationibus addicantur.